# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΝΙΚΗΤΑ

ΤΟΥ ΝΙΣΥΡΙΟΥ

ΜΕΤΑ ΒΙΟΓΡΑΦΙΚΟΥ ΑΥΤΟΥ ΥΠΟΜΝΗΜΑΤΟΣ

Ἐκδίδοται ὑπὸ

ΕΜΜΑΝΟΥΗΛ Ι. ΚΑΡΠΑΘΙΟΥ

*Μαθητοῦ τοῦ Πυθ. Γυμνασίου.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΙΚΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΣΑΜΩι

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΙΩΑΝΝΟΥ Δ. ΒΑΚΙΡΤΖΗ

1910

ΤΩι ΚΑΛΩι ΜΟΥ ΑΔΕΛΦΩι ΤΩι ΜΕΓΑΛΑ Υ-
ΠΕΡ ΕΜΟΥ ΜΟΧΘΗΣΑΝΤΙ ΚΑΙ ΜΟΧΘΟΥΝΤΙ

ΝΙΚΟΛΑΩι Ι. ΚΑΡΠΑΘΙΩι

ΤΩι ΤΗΣ ΕΥΣΕΒΕΙΑΣ ΖΗΛΩΤΗι
ΚΑΙ ΤΩΝ ΚΑΛΩΝ ΕΡΑΣΤΗι

ΜΕΤ' ΑΓΑΠΗΣ ΑΦΑΤΟΥ ΚΑΙ ΕΥΓΝΩΜΟΣΥΝΗΣ
ΤΟΔΕ
ΑΝΑΤΙΘΗΜΙ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Τοῖς ἐντευξομένοις.

Τὴν ἱερὰν ταύτην Ἀκολουθίαν τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Νικήτα τοῦ Νισυρίου, ἣν οὐχὶ ἀπόνως ἐκδοὺς παραδίδω εἰς τὸν χριστιανικὸν κόσμον, ἀντέγραψα οὐ πρὸ πολλοῦ χρόνου ἐκ τοῦ ἐν τῷ μητροπολιτικῷ ναῷ τῆς πατρίδος μου Νισύρου εὑρισκομένου χειρογράφου, ἀφ' οὗ καὶ ψάλλεται αὕτη κατ' ἔτος τῇ κά. Ἰουνίου, ἡμέρᾳ, καθ' ἣν ἡ Μήτηρ Ἐκκλησία ὥρισε νὰ τελῆται ἡ σεπτὴ τοῦ Μάρτυρος μνήμη. Ἤδη πρὸ δύο ἐτῶν ἐν τῇ φιλοστοργοτάτῃ μου μητρὶ Χαλκίτιδι Ἱερᾷ Θεολογικῇ Σχολῇ τὸ τρίτον τῆς μαθητείας ἔτος διανύων κατελήφθην ὑπὸ πόθου διακαεστάτου, ὅπως τὸν γνήσιον τοῦ χριστιανικοῦ κόσμου πολίτην, τὸν ἀληθῆ ἀθλητὴν καὶ μάρτυρα τοῦ Ἄρχοντος τοῦ Παντός, τὸν Νεομάρτυρα Νικήταν ἄγνωστον ὄντα πᾶσι γνωστὸν καταστήσω ἐκείνοις, ὑπὲρ ὧν τῆς ψυχικῆς σωτηρίας παρακαλούμενος οὗτος ἤθελε μεσιτεύσῃ, ἤρχισα δὲ πρὸς τὸν σκοπὸν τοῦτον νὰ δανείζωμαι ὅθεν καὶ ὅσον ἠδυνάμην πᾶσαν περὶ τοῦ Ἁγίου πληροφορίαν. Ἀπὸ παιδικῆς δὲ ἡλικίας ἐγνώριζον ἤδη τινὰ περὶ αὐτοῦ, ἃ ἡ εὐσεβεστάτη μήτηρ μου συχνότατα συνείθιζε νὰ μὲ ὑπομιμνήσκῃ. Ἀλλ' ἐνῷ διερχόμενος τὰς θερινὰς τοῦ οἰχομένου σχολικοῦ ἔτους διακοπὰς ἐν τῇ πατρίδι μου Νισύρῳ, πᾶσαν κατέβαλλον προσπάθειαν ὑπὲρ τῆς ἐκπληρώσεως τοῦ ἱεροῦ μου πόθου, ἔτυχε νὰ μάθω καὶ περὶ τοῦ χειρογράφου τῆς ἱερᾶς ταύτης Ἀκολουθίας. Διεξελθὼν δὲ τοῦτο μεθ' ὅσης ἠδυνάμην ἐπιστασίας πάσας ἀνεῦρον ἐν τῇ βιογραφίᾳ τὰς ἀντληθείσας ἐκ παραδόσεων πληροφορίας, διὸ καὶ καλὸν ἐθεώρησα, ὅπως παραιτούμενος πάσης περὶ τοῦ Ἁγίου ἰδιαιτέρας μελέτης ἐπιχειρήσω τὴν ἔκδοσιν τοῦ εἰρημένου χειρογράφου. Τὸν πόθον δὲ τοῦ νὰ γράψω τι περὶ τοῦ Ἁγίου ἐπεῤῥώννυε τὰ μέγιστα ἡ ἀσύγγνωστος ἀδιαφορία πάντων τῶν μέχρι τοῦδε περὶ Νισύρου γραψάντων, οἵτινες οὐδὲ τοῦ ὀνόματος τοῦ ἐνδόξου μάρτυρος ἠξίωσαν νὰ μνησθῶσι, ἐν ᾧ πλειστάκις θὰ ἠσπάσθησαν τὴν ἱερὰν τοῦ Ἁγίου εἰκόνα ἀνηρτημένην ἐν τῷ μητροπολιτικῷ ναῷ «Ποταμιτίσσῃ». Ἐπόνησαν δὲ τὴν μὲν ἱερὰν Ἀκολουθίαν ὁ αὐτόπτης τοῦ μαρτυρικοῦ τέλους τοῦ Ἁγίου, εὐσεβέστατος ἀνήρ, ὁ Πανοσιώτατος Ἀθανάσιος Ἰβηρίτης Ἡγούμενος τοῦ ἐν Χίῳ Ἰβηριτικοῦ μετοχίου, τὸ δὲ βιογραφικὸν ὑπόμνημα ἕτερός τις. Περὶ τῆς εὑρέσεως δὲ τοῦ χειρογράφου ἐν Νισύρῳ ἄλλοι μὲν λέγουσιν ὅτι εἶχε σταλῇ εἰς τὴν πατρίδα τοῦ Ἁγίου Νίσυρον ἀπὸ τῆς γενέσεως αὐτοῦ, διεσώθη δὲ διὰ τῆς ἀντιγραφῆς, ἄλλοι δὲ ὅτι το χει-

σοῦσι καὶ πρόφθασον, τοῖς ἐν τοῖς κινδύνοις, θάλασσαν δὲ κόπασον τοῖς θαλαττεύουσιν· ἤ που τὸ πολύαθλον σῶμα, μάρτυς, δεξαμένη φυλάττει μέχρι τῆς κοινῆς ἐξαναστάσεως.

**Δόξα. ἦχος β΄.**

Ἡ Ἐκκλησία σήμερον πανηγυρίζει μυστικῶς νέαν στολὴν ἐνδυσαμένη ὡς πορφύραν καὶ βύσσον, τὸ αἷμα τοῦ νέου ἀθλοφόρου, ὃν ὡς θυσίαν ἄμωμον, δεκτὴν καὶ εὐάρεστον Χριστῷ προσαγαγοῦσα, μετὰ παρρησίας βοᾷ πρὸς αὐτόν. Ὁ νικητὴν τοῦτον τῶν παρανόμων ἀναδείξας καὶ στεφανώσας καὶ δοξάσας κατάπεμψον ταῖς αὐτοῦ πρεσβείαις τὸ μέγα ἔλεος τοῖς ἐκ πόθου τελοῦσι τὴν πανίσχυρον αὐτοῦ καὶ ὑπέρλαμπρον ἄθλησιν.

**Καὶ νῦν. Θεοτοκίον.**

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης. Ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες καὶ Παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος· ἀντὶ Μωϋσέως, Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Εἴσοδος, τὸ Φῶς ἱλαρὸν καὶ τὰ Ἀναγνώσματα:**

**Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.**

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γένεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός· καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι· καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ· καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι· καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν. Καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτούς, ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς· καὶ ὡς



ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα. δικαιοσύνην. καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Στιχηρὰ εἰς τὴν Λιτήν.**

Ἦχος ά.

Πνευματικὴν χορείαν συγκροτήσωμεν τὰ πλήθη τῶν Ὀρθοδόξων ἐπὶ τῇ μνήμῃ Νικήτα τοῦ νεοφανοῦς ἀθλητοῦ. Καὶ πρὸς αὐτὸν γηθοσύνως βοήσωμεν λέγοντες. Χαίροις ὁ τὸν Χριστὸν κηρύξας ἐν τῷ σταδίῳ τῶν παρανόμων Θεὸν εἶναι ἀληθινόν, τὸ δὲ ἀλόγιστον τούτων σέβας, μυθώδη πλάνην τοῖς θεοσόφοις σου λόγοις ἐλέγξας πανένδοξε. Χαίροις ὁ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος καὶ τὸν τῆς δικαιοσύνης στέφανον παρὰ Χριστοῦ κομισάμενος, τοῦ παρέχοντος εἰρήνην καὶ ἔλεος τοῖς ἐκ πόθου τελοῦσι τὴν πανσέβαστον μνήμην σου.

Ὁ αὐτὸς

Τῷ θείῳ πόθῳ τοῦ Χριστοῦ, Νικήτα μάρτυς, φλεγόμενος τὰς τῶν ἀνόμων βασάνους εἰς οὐδὲν ἐλογίσω· ἀλλά σου τὸν λογισμὸν τοῖς οὐρανίοις κάλλεσι προσηλώσας, ἔσπευσας φθάσαι πρὸς τὸν ποθούμενον, Οὗ καὶ τὰ στίγματα ἐν τῇ σαρκί σου χαίρων ἐβάστασας· οἷς σεμνυνόμενος ἀδιαλείπτως πρέσβευε δωρηθῆναι ἡμῖν τὸ μέγα καὶ πλούσιον ἔλεος.

Ἦχος δ'.

Σήμερον ὁ Δεσπότης Χριστὸς οὐρανῶν τὰς πύλας ἀνοίξας, εἰς τοὺς ἀκηράτους δόμους δέχεταί σε, Νικήτα πανεύφημε· καὶ βασιλείας συμμέτοχον δείκνυσιν, ὡς συγκοινωνὸν τῶν αὐτοῦ παθημάτων. Ὢ παριστάμενος, μὴ ἐπιλάθου ἡμῶν τῶν ἐν πίστει καὶ πόθῳ τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

Ἦχος πλ. ά.

Τῇ παμφαεῖ πανηγύρει τοῦ νέου ἀθλητοῦ. δεῦτε συνδράμωμεν, προὔθηκε γὰρ ἡμῖν τράπεζαν μυστικήν, τὰς λαμπρὰς αὐτοῦ ἀριστείας καὶ τρόπαια καὶ συγκολεῖται πάντας πρὸς εὐωχίαν. Μηδεὶς ἐξέλθῃ πεινῶν τῆς ἱερᾶς πανδαισίας καὶ γὰρ ἀμείβεται πάντας τοῖς οὐρανίοις χαρίσμασιν, ὧν ἐν μετοχῇ γενέσθαι ἀξιωθείημεν ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις αὐτοῦ παρακλήσεσι.

**Δόξα. Ἦχος πλ. ά.**

Πρὸς τὸ Ἑλκόμενος ἐπὶ Σταυροῦ

Ἑλκόμενος ἐπὶ σφαγήν. οὕτως ἐβόας Ἅγιε, διὰ ποῖον ἔργον θέλετέ με παράνομοι ἀποκτεῖναι; ὅτι τὸν ζωοδότην Χριστὸν ἐκήρυξα; ὅτι Θεὸν τοῦτον κατήγγειλα; τὸ ψεῦδος ἠλεγξάμην καὶ τὴν ἀπάτην ἐμείωσα, διὰ ποῖον ἔργον θέλετέ με φονεῦσαι; ἀλλ' ὄψεσθε ὑμεῖς ἐν τῇ δόξῃ Χριστοῦ με λάμποντα.

**Καὶ νῦν. Μακαρίζομέν σε, Θεοτόκε.**

# ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν

Τῷ Θεῷ διὰ πίστεως, στρατευθείς, Μάρτυς ἔνδοξε, ἑκουσίως ἔδραμες πρὸς τὸ στάδιον, παρανομούντων γηθόμενος, Νικήτα οὐ θάνατος οὐδὲ πῦρ, οὔτ' αἰκισμοί, οὐ παρόντα οὐ μέλλοντα, τῆς ἀγάπης με, τοῦ Χριστοῦ ἐπεβόας ἀθλοφόρε, ἐξισχύσουσι χωρίσαι, καὶ γὰρ ζωή μοι ὁ θάνατος.

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ

Μονιὸς ὥσπερ ἄγριος, κατασχών σε ὁ δήμιος, ξίφει ἐναπέτεμεν ἀπηνέστατα, τὴν κεφαλήν σου τὴν πάνσεπτον, Νικήτα καὶ ἔμεινε τρέμων ὅλος ὁ δεινός, μέχρι τέλους δοξάσαντος, ὃν ἐδόξασας, τοῦ Θεοῦ σε· τὸ βλέπειν δ' ἐπεδόθη, τοῖς τυφλοῖς τῇ ἐπιχρίσει, τοῦ ἐκχυθέντος σου αἵματος.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Μετὰ τέλος μακάριον, ἐν θαλάσσῃ ὠμότατα, ἀπερρίφθης ἔνδοξε τοῦ δικάζοντος, τῇ προσταγῇ καὶ ἀνέδραμες, ἐκεῖθεν γηθόμενος, εἰς αὐ-



τοὺς τοὺς οὐρανούς, τοὺς στεφάνους ληψόμενος, καὶ παρίστασαι, τῇ Ἁγίᾳ Τριάδι μετ' Ἀγγέλων, καὶ μαρτύρων ὡς τὸν βίον, τούτων ζηλωσάμενος Πανεύφημε.

Δόξα ἦχος δ'.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν καὶ τὸν ἀθλοφόρον Χριστοῦ ἐν ὕμνοις τιμήσωμεν Νικήταν τὸν ἔνδοξον. Σήμερον γὰρ ὡς Ἑωσφόρος ἀνέτειλε καὶ καταφωτίζει τὰς διανοίας τῶν πιστῶν τῶν ἐν πίστει καὶ πόθῳ ἐπιτελούντων τὴν μνήμην αὐτοῦ τὴν σεβάσμιον.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων.

**Ἀπολυτίκιον.** *

Ἦχος δ'. Ἀσκητικῶς προγυμνασθείς.

Ἀκαταγώνιστος ὀφθεὶς ἀθλοφόρε, τῶν ἐκ τῆς Ἄγαρ μηχανὰς ἐτροπώσω, καὶ ἐναθλήσας ἔνδοξε στερρότατα, ξίφος κατεπάλαισας, δυσμενῶν ἀοράτων, ὅθεν τὸ διάδημα, ἀνεπλέξω τῆς νίκης· ὑπὲρ ἡμῶν ἱκέτευε Χριστόν, νέε Νικήτα, τῶν πίστει τιμώντων σε.

Δόξα Καὶ νῦν Θεοτοκίον.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν ά. Στιχολογίαν**

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως

Θεῖον φρόνημα ἀνειλημμένος, ὦ ὑπέρμαχε Χίου Νικήτα, καὶ τοῦ Χριστοῦ ὁπλῖτα στερρόψυχε, Ἀγαρηνῶν τε τὸ θράσος κατέβαλες, καὶ τὸν Βελίαρ γενναίως κατήσχυνας· νίκης ἔπαθλα σαφῶς ἐκ Θεοῦ δεξάμενος δωρῆσαι τοῖς πιστοῖς παθῶν ἰάματα.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας σκηνὴ τοῦ λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμέ γοῦν γενόμε-

* Ἀντὶ τοῦ Ἀπολυτικίου τούτου ἐν Νισύρῳ ψάλλεται τὸ κατωτέρω κατὰ τό. Τῆς Ζακύνθου τὸν γόνον, ποιηθὲν παρὰ Μακαρίου ἡγουμένου τῆς ἐν Νισύρῳ Ἱ. Μονῆς Σπηλαιανῆς. (1840—60)

**Ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.**

Τῆς Νισύρου τὸν γόνον καὶ τῆς Χίου τὸ καύχημα, τὸν φρουρὸν Αἰγαίου πελάγους Νικήταν τὸν ἔνδοξον, ὑμνήσωμεν συμφώνως οἱ πιστοὶ βοῶντες πρὸς αὐτὸν εἰλικρινῶς. Ταῖς λιταῖς σου τοὺς τὴν σὴν μνήμην ἐπιτελοῦντας σῶζε καὶ βοῶντάς σοι. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ δωρησαμένῳ ἡμῖν πρέσβυν ἀκοίμητον.

νον ρερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

**Μετὰ τὴν β΄. Στιχολογίαν. Κάθισμα. Ἦχος ά.**

Τὸν τάφον Σου Σωτήρ.

Τῷ μόνῳ βασιλεῖ νῦν παρίστασαι χαίρων, διάδημα φαιδρὸν καὶ στολὴν ἐξ οἰκείων βαφεῖσαν αἱμάτων σου, περικείμενος ἔνδοξε. καὶ θεούμενος καθαροτάτῃ μεθέξει ὅθεν σήμερον, τὴν Παναγίαν σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε.

**Δόξα καὶ νῦν. Θεοτοκίον.**

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες.

**Μετὰ τὸν Πολυέλεον.**

Ἐπεφάνης σήμερον

Ἑορτὴν ὑπέρλαμπρον ἡ Ἐκκλησία, κεκτημένη ἔνδοξε τὴν πανηγύριν ἑορτήν, σῆς τελειώσεως κράζει σοι. Χαίροις Νικήτα ἐμὸν ἀγαλλίαμα.

Δόξα καὶ νῦν. Θεοτοκίον

Μὴ παρίδῃς Δέσποινα, τὰς ἱκεσίας, ἀλλὰ ταῦτα πρόσφερε, τῷ σῷ υἱῷ ὑπὲρ ἡμῶν, τῶν μετὰ πόθου βοώντων σοι· Χαῖρε Μαρία βροτῶν ἡ ἀνάκλησις.

Καὶ τὰ λοιπὰ ὡς τὸ σύνηθες. Μετὰ τὸ Εὐαγγέλιον.

Ἰδιόμελον· ἦχος β΄. Ζήτει εἰς τὸν Ἑσπερινόν.

**Ὁ Κανὼν τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.**

Ὠδὴ ά. Ἦχος πλ δ΄.

**Ἁρματηλάτην Φαραώ.**

Ταῖς εὐπροσδέκτοις ἱκεσίαις Δέσποτα, τοῦ νέου Μάρτυρος, σὴν ἐξαιτῶ χάριν, ὅπως τὴν ὑπέρλαμπρον, καὶ θείαν αὐτοῦ ἄθλησιν. ἐξισχύσω ὑμνῆσαι, καὶ τὸν πρὸς Σὲ θεῖον ἔρωτα, καὶ τὰ ὑπὲρ Σοῦ ἀγωνίσματα.

Ἄγε τῶν θείων ἀθλοφόρων σήμερον, πᾶσα ἡ θεία πληθύς, τὸν φαεινὸν λύχνον, Νικήταν τὸν σύναθλον, ἐνδόξως προσδεξάμενοι, συγχορεύσατε τούτῳ, καὶ γὰρ ὑμᾶς ἐκμιμούμενος ἤθλησε γενναίως ὁ ἔνδοξος.

Ὄντως εἰς τέλος ὁ ἐχθρὸς ἠφάνισται, ὁ γῆν καὶ θάλασσαν μεγαλαυχῶν πᾶσαν ἐξαλείφειν ἔνδοξε, ποσὶ γάρ σου πεπάτηται, ὡς στρουθίον Νικήτα ἐν νεαζούσῃ ὑπάρχοντος, πάνυ ἡλικίᾳ Νεόμαρτυς.

Τῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι τὴν ταπεινὴν μου ψυχήν, καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν Θεονύμφευτε· ἀλλ᾽ ἡ φῶς τετοκυῖα τὸ θεῖον καὶ προαιώνιον λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Οὐ ξίφος Μάρτυς τὸν στερρόν, τῆς καρτερίας σου πύργον, διετάραξε



Νικήτα, ἀλλ᾽ ὤφθης, καρτερώτατος ποιναῖς, προσομιλῶν καὶ θλίψεσι, ταῖς παρ᾽ ἐχθρῶν ἀσπλάγχνως, προσφερομέναις σοι ἔνδοξε.

Κατὰ τοὺς χρόνους ἀθλητά, καθ᾽ οὓς ὁ λύχνος ἐσβέσθη, τῆς ἀγάπης πρὸς Χριστὸν σὺ ἐφάνης, ὡς ὁ πρώταθλος θερμός, Στέφανος καὶ ἐνήθλησας, κρουνοῖς τῶν σῶν αἱμάτων, καταβυθίσας τὸν τύραννον.

Οὐκ ἀπαρνήσω τὸν Χριστόν, ἰδίᾳ γνώμῃ ἀλλ᾽ ἄκων. ἑκουσίᾳ δὲ τυράννων ἀθέων, κατενώπιον τρανῶς ὁμολογίας ἔφερες τοὺς σπαραγμοὺς τοὺς τούτων, οἵ σε αὐτῷ προσῳκείωσαν.

Πολλοὺς ὑπέστης σπαραγμούς, πρὸς τὴν θείαν Νικήτα, ἀπαρνήσασθαι σωτήριον κλῆσιν, τοῦ Χριστοῦ, ἀλλ᾽ εἰς κενόν, ὄντος κεκόπακι, καὶ γὰρ μέχρι θανάτου, ταύτην γενναίως ἐβάστασας.

**Θεοτοκίον.**

Θεοχαρίτωτε Ἁγνή, μετὰ τῶν ἄνω ταγμάτων, μετὰ πάντων τῶν σοφῶν Ἀποστόλων, καὶ Μαρτύρων ἱερῶν, καὶ Προφητῶν ἱκέτευε, ὅπως τελείαν λύσιν ἁμαρτημάτων ληψώμεθα.

**Κάθισμα. Ἦχος δ΄.**

Ταχὺ προκατάλαβε.

Μαρτύρων ἐν αἵματι καλλωπιζόμενος, Κυρίῳ παρίστασαι τῷ τοῦ παντὸς βασιλεῖ, Νικήτα Πανεύφημε· ὅθεν ἐν εὐφροσύνῃ τὴν ἁγίαν σου μνήμην, σήμερον ἐκτελοῦμεν ὀφλημάτων τὴν λύσιν· αἰτούμενοι εὑρεῖν διὰ σοῦ καὶ μέγα ἔλεος.

Δόξα καὶ νῦν

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ υἱῷ καὶ Θεῷ, Κυρία Πανάμωμε· λῦσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, σύντριψον μηχανίας καὶ κατάβαλε θράσος τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Οὐχ εἱρκτὴ οὐδὲ μάρτυρες, οὐ θυμὸς τυράννων, ἀλλ᾽ οὐδὲ θάνατος. τῆς ἀγάπης ἠδυνήθησαν, ἐκχωρίσαι σε Μάρτυς, τοῦ Δεσπότου σου.

Θαῦμα ὄντως παράδοξον, πῶς ἀσάρκους Μάρτυς ἐχθροὺς κατέβαλες, ἁπαλῷ λίαν ἐν σώματι, ψυχῆς δὲ γενναίῳ ἐν φρονήματι.

Οὐκ ἀρνοῦμαι τὸ ὄνομα, τοῦ Χριστοῦ ἐβόας Μάρτυς ἑλκόμενος, πρὸς σφαγὴν ὡς ἀμνὸς ἄκακος, ἀλλὰ φέρω πάντα νῦν γηθόμενος.

**Θεοτοκίον.**

Ἐπὶ κλίνης ὀδύνης μου, καὶ τῆς ἀρρωστίας κατακειμένῳ μοι, ὡς φιλάγαθος βοήθησον, Θεοτόκε μόνη ἀειπάρθενε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

'Ωδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ἵνα τί σὺ βραδύνεις, ἔκραζες γηθόμενος δημίῳ ἔνδοξε, καὶ οὐ θανατοῖς με, προξενῶν μοι τὰ θεῖα σκηνώματα, ἅπερ ποθῶν φθάσαι, θνήσκω προθύμως, ὅπως λάβω πρὸς Θεοῦ τὴν ζωὴν τὴν αἰώνιον.

Σοῦ τὸ πάνσεπτον σῶμα, Μάρτυς ἐναπέρριψαν θαλάσσῃ ἄνομοι, μετὰ τὴν τοῦ ξίφους, ἐκτομὴν ζημιῶσαι οἰόμενοι, τὸ τῶν ὀρθοδόξων, πλήρωμα ὅλως μὴ εἰδότες, ὅτι πάντας ἐποπτεύεις σὺ ἄνωθεν.

Νέος ὢν ἡλικίαν, ἔσχες σου τὸ φρόνημα Νικήτα ἔνδοξε, ὡς ὁ θεῖος πάλαι Δανιὴλ γηραλέον καὶ πάνσοφον, ὅθεν ἀπογόνους Μάρτυς τῆς Ἄγαρ ὡς ἐκεῖνος, πρεσβυτέρους αἰσχύνας δεδόξασαι.

**Θεοτοκίον.**

Τί σοι δῶρον προσάξω, τῆς εὐχαριστίας, ἀνθ' ὧν περ ἀπήλαυσα, τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος· τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγαλύνω, σοῦ τὴν ἄφατον πρός με συμπάθειαν.

'Ωδὴ ϛ' Ἱλάσθητί μοι Σωτήρ.

Εὐφραίνεται μυστικῶς ἡ Χίος Μάρτυς κατέχουσα, τὸ ἐκχυθὲν Νικήτα, σεβάσμιον αἷμά σου, ἐν κόλποις καὶ κράζει σοι· μή μου ἐπιλάθου μέχρι τέλους εὐφημούσης σε.

Ἐνήθλησας ἀνδρικῶς, ποσί σου κτείνας τὸν δράκοντα, καὶ νῦν ἐν τοῖς οὐρανοῖς ἀγάλλει δρεπόμενος τὰ γέρα τῶν πόνων σου, καὶ ἡμᾶς βραβεύων τὴν εἰρήνην ταῖς πρεσβείαις σου.

Ἀνέτειλας ἀληθῶς, ὡς ἄστρον φαῖνον τὴν σύμπασαν, ἀκτῖσι τῶν φαεινῶν καὶ θείων ἀγώνων σου Νικήτα πανεύφημε, δόξα τῶν μαρτύρων καὶ ὑμνούντων σε ὁ στέφανος.

**Θεοτοκίον.**

Ρυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ Ἁγνή, καὶ τύχοιμεν Πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος υἱοῦ τοῦ Θεοῦ.

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Νεοφανὴς ὥσπερ ἀστὴρ ἀθλοφόρε, ἐξανατείλας τῇ σεπτῇ Ἐκκλησίᾳ, τῶν εὐσεβῶν κατηύγασας τὰ πρόσωπα, πόθῳ εὐφημούντων σε καὶ τελούντων Νικήτα, σῆς στερρᾶς ἀθλήσεως τὴν ὑπέρλαμπρον μνήμην, καὶ ἐκβοώντων δόξα Σοι Χριστέ, τῷ τὸν ὁπλίτην τὸν Σὸν στεφανώσαντι.

Ὁ οἶκος

Τοῦ ἀθλοφόρου τὴν ὑπέρλαμπρον μνήμην, δεῦτε πάντες τῶν ὕμνων



τοῖς στεφάνοις λαμπρῶς καταστέψωμεν· καὶ γὰρ οὗτος ὁ τῆς ἐπουρανίου νίκης φερώνυμον κλῆσιν πλουτῶν, τὸν παλαιὸν πτερνιστὴν ἐν ἁπαλῷ κομιδῇ τῷ σώματι ἐκνικήσας ἀναβρύει ἀντὶ αἱμάτων ἱερῶν, ἰαμάτων τὰ ρεύματα. Σὺν τούτοις δὲ πᾶσι χαίρει Χριστῷ καὶ δίδωσιν εἰρήνην ἀνέκλειπτον τοῖς ἐκ πόθου βοῶσι, δόξα Σοι, Χριστέ, τῷ τὸν ὁπλίτην τὸν Σὸν στεφανώσαντι.

**Τῷ αὐτῷ μηνὶ κά. μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτηρος Νικήτα τοῦ Νισυρέου ἐν Χίῳ ἀθλήσαντος.**

Τμηθείς, Νικήτα, τὸν σὸν αὐχένα ξίφει
τέτμηκας ἐχθροῦ τὰς πανουργίας πάσας.

ΟΥΤΟΣ ὁ νέος μάρτυς τοῦ Χριστοῦ Νικήτας ἦτο ἀπὸ τὴν Νίσυρον, ἡ ὁποία εἶναι μικρὰ νῆσος ἀναμεταξὺ τῆς Κῶ καὶ τῆς Τήλου κειμένη, χριστιανῶν γονέων υἱός. Ὁ πατὴρ αὐτοῦ ὡς ἐπισημότερος τῶν ἄλλων ἦτο προεστὼς τῆς νήσου, ἀλλ' ὅμως διὰ κάποιά του ἐγκλήματα τὸν ἔσυραν εἰς κριτήριον. τῆς νήσου Ρόδου ἐκεῖ δὲ κρινόμενος οὗτος καὶ ἐξεταζόμενος ἐφοβήθη καὶ ἐπροτίμησεν ὁ ἄφρων τὴν πρόσκαιρον ταύτην ζωὴν ἀπὸ τὴν αἰώνιον. Ὅθεν ἀρνηθεὶς τὴν εἰς Χριστὸν πίστιν ἐτούρκευσεν ὁ τρισάθλιος καὶ οὕτως ἀπέφυγε τὴν κρίσιν. Ἀφοῦ δὲ ἐτούρκευσεν αὐτός, συνέλαβον οἱ Ἀγαρηνοὶ καὶ τὰ παιδία του, κατὰ τὴν συνήθειαν αὐτῶν, καὶ τὰ ἐτούρκευσαν· μεταξὺ δὲ τῶν ἄλλων ἐτούρκευσαν καὶ τοῦτον τὸν Νικήταν, περὶ τοῦ ὁποίου ἐνταῦθα ὁ λόγος. Ὁμοίως δὲ καὶ ἡ μήτηρ του (διὰ νὰ μὴ χωρισθῇ ἴσως ἀπὸ τὰ τέκνα της, ἄδηλος ἡ αἰτία) ἀρνηθεῖσα τὸν Χριστὸν ἐδέχθη τὸν τουρκισμὸν ἡ πανάθλια καὶ ὅλη πλέον ἡ φαμηλία ἐκείνη παρεδόθη τῷ Σατανᾷ. Ὁ δὲ Νικήτας τόσον πολλὰ νέος ἦτο εἰς τὴν ἡλικίαν τότε, ὥστε οὐδὲ ἰδέαν τοῦ Χριστιανισμοῦ εἶχεν, ἀλλὰ τοῦρκος ἐγνώρισε τὸν κόσμον, καὶ μὲ τουρκικὰ φρονήματα ἀνετρέφετο καὶ προέκοπτε μάλιστα ἐν τῷ μωαμεθανισμῷ, καθὼς ὁ Παῦλος ἐν τῷ Ἰουδαϊσμῷ, προτοῦ νὰ φωτισθῇ οὐρανόθεν καὶ νὰ ἔλθῃ εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας· ἐπρόκοπτε λέγω καὶ πολὺν ἐδείκνυε ζῆλον διὰ τὴν πλάνην εἰς τὴν ὁποίαν εὑρέθη, ὅθεν καὶ ὁ φιλάνθρωπος Θεός, ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἀπὸ τὸν ζῆλον ἐκεῖνον τὸν οὐ κατ' ἐπίγνωσιν τὸν ἔφερεν εἰς ἐπίγνωσιν ἀληθείας καὶ θεοσεβείας, καθὼς καὶ τὸν θεῖον Παῦλον. Πῶς δὲ καὶ μὲ ποῖον τρόπον; ἀκούσατε συντόμως τὴν περὶ τούτου διήγησιν, διὰ νὰ θαυμάσετε τοὺς τρόπους, ὁποὺ μεταχειρίζεται ἡ πάνσοφος τοῦ Θεοῦ πρόνοια διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων.

Συνέβη ἡμέραν τινά, ἐν Ρόδῳ, ἔνθα εἶχον μεταφερθῇ ἐκ Νισύρου, νὰ μαλλώσῃ μὲ τουρκόπουλον, μὲ τὸ ὁποῖον συνανεστρέφετο· ἡ μήτηρ τοῦ παιδίου τούτου ἠξεύρουσα τὰ περὶ τοῦ Νικήτα, τὸν ὕβρισε καὶ πολλὰ σκληρὰ λόγια τὸν ἐλάλησεν, ὀνομάζουσα αὐτὸν μουρτάτην καὶ ἄπιστον καὶ ἄλλα παρόμοια, ὁποὺ συνειθίζουν αὐτοὶ νὰ λέγουν εἰς τοὺς ἀπὸ χριστιανῶν εἰς τὴν πλάνην αὐτῶν στρέφοντας. Ὁ δὲ Νικήτας ἀγκαλὰ καὶ παιδίον, πλὴν

ζηλωτής, καθὼς εἴρηται, δὲν ὑπέφερε τὰς ὕβρεις καὶ τοὺς ὀνειδισμοὺς ἐκείνους· ὅθεν τρέχει μὲ πολλὴν λύπην καὶ ἀγανάκτησιν καὶ φανερώνει τὰ γενόμενα εἰς τὴν μητέρα του καὶ ζητεῖ ἀπαραιτήτως ἀπὸ αὐτὴν νὰ τοῦ εἰπῇ διὰ ποίαν αἰτίαν νὰ τὸν ὀνειδίζῃ ὡς ἄπιστον. Αὐτὴ ὅμως τῷ ἔλεγε νὰ μὴ τὰ λογιάζῃ τίποτε λέγουσα «δὲν σὲ μέλλει, ἂς τὸ εἶπε. τίποτε δὲν εἶναι, ὁ θυμὸς τὴν ἐπαρακίνησε νὰ τὸ εἰπῇ». Ἀλλ' ὁ Νικήτας δὲν ἐπείθετο, ἀλλ' ἐζήτει μὲ μεγάλην ἔρευναν, ὡσὰν νὰ τὸν ἐβίαζε τινὰς νὰ μάθῃ. Τέλος πάντων, ὕστερον ἀπὸ πολλὴν ὥραν καὶ ἀπὸ πολλὴν ἐξέτασιν βιασθεῖσα τοῦ διηγήθη τὴν ἀρχήν των τὶ ἦσαν καὶ ποῦ κατήντησαν. Ταῦτα παρὰ τῆς μητρός του ἀκούσας ὁ Νικήτας, τὴν ἠρώτησε· τί μὲ ἔλεγαν, ὅταν ἤμουν ρωμαῖος; καὶ αὐτὴ ἀπεκρίθη, ὅτι τὸν ὠνόμαζον Νικήταν. Ἐσιώπησε λοιπὸν καὶ ἡσύχασε πλέον μαθὼν ὅτι δικαίως τρόπον τινὰ τὸν ὠνείδισαν. ὡσὰν ὁποῦ δὲν ἦτο ἀπὸ τοὺς προγόνους του τοῦρκος. Ὅμως κατ' ἄλλον τρόπον ἐσυγχίσθη καὶ ἐλυπήθη λύπην μεγάλην, διατὶ νὰ χάσῃ τὴν προγονικήν του πίστιν καὶ νὰ εὑρίσκηται εἰς ξένην ὑβριζόμενος καὶ ὀνειδιζόμενος ὡς ἄπιστος. Τοιοῦτοι θεϊκοὶ καὶ σωτήριοι λογισμοὶ ἀνέβησαν εἰς τὸν νοῦν τοῦ εὐλογημένου Νικήτα, ὅθεν ἐσυλλογίζετο μόνος χωρὶς νὰ φανερώσῃ τοὺς λογισμούς του εἰς τινα, μὲ ποῖον τρόπον νὰ ἐπιστρέψῃ καὶ νὰ ἔλθῃ πάλιν εἰς τὴν προγονικήν του χριστιανικὴν πίστιν. Εἰς καιρὸν λοιπὸν ὁποῦ τοιούτους λογισμοὺς ἔτρεφε μέσα εἰς τὸν νοῦν του καὶ ἐζήτει εὐκαιρίαν νὰ φύγῃ κρυφίως ἀπὸ τοὺς γονεῖς του, διὰ νὰ ὑπάγῃ εἰς ἄλλον χριστιανικὸν τόπον καὶ ἐμποδίζετο ἀπὸ πλοῖον καὶ ἀπὸ τὰ χρειαζούμενα τοῦ ταξειδίου, εἰς τοιοῦτον καιρὸν λέγω, εὐδόκησεν ὁ Θεὸς καὶ εὑρέθη πλοῖον εἰς τὸ ὁποῖον ἐπέβη καὶ ἔφθασεν εἰς ἓν ἀπὸ τὰ μαστιχόχωρα τῆς Χίου Λιθῆς λιμένα καλούμενον. Ἐξελθὼν δὲ ὅλως διόλου ξένος καὶ ἀγνώριστος, ἠκολούθησεν ἕνα δρόμον, χωρὶς νὰ ἠξεύρῃ ποῦ ὑπάγει, μὲ καλὰς διαθέσεις ὅμως, ὅτι ὁ Θεὸς θέλει τὸν ὁδηγήσει εἰς τὸ θέλημά Του τὸ ἅγιον. Καὶ κατὰ ἀλήθειαν οὕτως ἔγινε. Διατὶ ὁ Θεὸς ὁ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτόν, τὸν ὡδήγησε καὶ τὸν ἔφερε μὲ κάθε λογῆς ἀσφάλειαν καὶ ὡσὰν εἰς λιμένα σωτήριον εἰς τὴν νέαν Μονήν. Ἐλθὼν δὲ ἐκεῖ ἐφανέρωσεν εἰς τὸν Ἡγούμενον τὶ ἄνθρωπος ἦτο καὶ ποῖον σκοπὸν εἶχε καὶ ἐζήτει παρ' αὐτοῦ συμβουλὴν τὶ νὰ κάμῃ. Ὁ δὲ Ἡγούμενος τὸν ἔστειλε καὶ ἐξομολογήθη εἴς τινα ἀρχιερέα ἐνάρετον, ὁποῦ ἡσύχαζε τότε ἐκεῖ. τὸν πρώην Θηβῶν Μακάριον. Ἔπειτα τὸν κατήχησαν, τὸν ἐμύρωσαν καὶ μετὰ ταῦτα διέτριβε μέσα εἰς τὸ μοναστήριον ἀγνώριστος εἰς τοὺς πολλού,. Διατρίβοντας δὲ ἐκεῖ ἔκαμνε κάποια καλά, ἀλλὰ μὲ τρόπον παιδαριώδη: ἤγουν ἔπερνε κηρία καὶ ἐπήγαινε μόνος εἰς τὸν νάρθηκα τῆς Ἐκκλησίας, καὶ τὰ ἄναπτεν, ἄλλα εἰς τὸ μανουάλιον ὁποῦ εἶναι ἐκεῖ, ἄλλα εἰς ἄλλους Ἁγίους, ὁποῦ εἶναι τριγύρω εἰς τοὺς τοίχους ζωγραφισμένοι. Ἔπειτα προσηύχετο, εἴ τι ἤξευρεν, ἐμετάνοιζε καὶ οὕτως ἐπέρνα τὸν καιρόν του μέσα εἰς τὴν Ἐκκλησίαν μὲ νηστείαν καὶ ἐγκράτειαν. Ἐζήτησε δὲ καὶ ἁγιασμὸν καὶ τὸν ἐβάσταζε πάντοτε ἐπάνω του μέσα εἰς ὑάλινον δοχεῖον καὶ εἰς κάθε ὀλίγην ὥραν ἔπινεν ἀπὸ αὐτόν. Δι' αὐτὰ λοιπὸν καὶ ἄλλα παρόμοια ὁποῦ τὸν ἔβλεπαν νὰ



κάμνῃ ἄλλοι τὸν ἐνόμιζον σαλὸν καὶ ἄλλοι πολλὰ εὐλαβῆ. Μετὰ ταῦτα ὅμως τόσον ἐθερμάνθη ἀπὸ τὴν ἀγάπην τῆς εὐσεβείας, τόσον ἄναψεν ἡ καρδιά του ἀπὸ τὸν ἔρωτα τοῦ Χριστοῦ, ὥστε ἀκούσας μίαν φορὰν ὅτι οἱ ἐξομόσαντες εἶναι χρεία νὰ κηρύξουν παρρησίᾳ τὴν πίστιν ὁποῦ ἠρνήθησαν, νὰ ὁμολογήσουν τὸν Χριστὸν καὶ νὰ χύσουν το αἷμά των διὰ τὴν ἀγάπην του, ἀκούσας λέγω τοῦτον τὸν λόγον, τὸν ἐδέχθη μὲ ἄρρητον χαρὰν καὶ ἀγαλλίασιν τῆς ψυχῆς του καὶ ἐδόθη ὅλος εἰς αὐτὸν τὸν λογισμόν. Νὰ ἀποθάνῃ δηλαδὴ ὑπὲρ πίστεως, νὰ μαρτυρήσῃ ὑπὲρ Χριστοῦ. Ἀνέβη δὲ μετὰ ταῦτα καὶ εἰς τὸ σπήλαιον τῶν Ἁγίων Πατέρων (εἶναι δὲ αὐτὸ ἐπάνω εἰς ὄρος μέσα εἰς τὸ ὁποῖον ἠσκήτευον οἱ ὅσιοι Πατέρες οἱ κτήτορες τῆς μονῆς· οἱ μεταγενέστεροι τὸ ἔκαμαν Ἐκλησίαν) καὶ ἔκαμνε πάλιν τὰ ἴδια, ἄναπτε κηρία, προσηύχετο, ἔκαμνε γονυκλισίας, πρὸς τούτοις ὄντας ἀποφασισμένος εἰς τὸν ὑπὲρ Χριστοῦ θάνατον. Ἔκαμνε καὶ ἄλλο ἀπὸ τὸ ὁποῖον μάλιστα ἐνόμισαν ἐκεῖνοι ὁποῦ τὸν εἶδον, ὅτι δὲν ἔχει σῴας τὰς φρένας του· ἐκάθιζε λέγω μόνος του καὶ ἐξέσχιζεν ἓν ἀρκετὸν μέρος ἀπὸ τὰ φορέματά του καὶ τὸ ἔδωκεν εἰς τοὺς ἐκεῖ ἡσυχάζοντας. λέγοντας εἰς αὐτοὺς νὰ σφογγίζουν τὰς χεῖράς των, ὅταν ἀνάπτουν τὰ κανδήλια, ἔπειτα ἔρραφτε καὶ ἤνωνε πάλιν τὸ ἐπίλοιπον φόρεμα. Μετὰ ταῦτα ἐβγαίνοντας πλέον ἔξω ἀπὸ τὴν πόρταν νὰ φύγῃ εἶπε προς τοὺς μοναχούς, εὔχεσθε ὑπὲρ ἐμοῦ νὰ τελειώσω τὸν πόθον μου, καὶ τὸν σκοπόν μου. Οἱ δὲ ἐρωτήσαντες αὐτὸν τὶς καὶ πόθεν ἦτο καὶ ποῖος ὁ σκοπός του ἔμαθον ἀπὸ αὐτὸν ἀκριβῶς τὰ πάντα καὶ ἐθαύμασαν τὴν ἀνδρείαν ὁποῦ ἔδειχνε. Τότε ἐγνώρισαν, ὅτι καὶ τὸ νὰ δώσῃ εἰς τὴν ὑπηρεσίαν τοῦ ναοῦ ὄχι τὸ περίσσευμά του, ἀλλὰ καὶ τὸ ἀναγκαῖον καὶ ἀπαραίτητον σκέπασμα τοῦ σώματός του ἦτο σημεῖον τῆς πρὸς Θεὸν ἀγάπης αὐτοῦ καὶ ἀνώτερον τοῦ ἔργου καὶ τῆς εὐαγγελικῆς ἐκείνης χήρας. ἡ ὁποία ἔβαλε τὰ δύο λεπτὰ εἰς τὰ δῶρα τοῦ Θεοῦ. Αὐτὰ ἠκούσαμεν, ἀδελφοί, μὲ τὰ ἴδιά μας αὐτία καὶ ἐμάθαμεν αὐτοπροσώπως ἀπὸ τὸν Πανοσιώτατον παπᾶ Ἄνθιμον τὸν ἐπικληθέντα Ἁγιοπατερίτην μὲ τὸ νὰ ἡσύχαζεν ἐκεῖ εἰς τὸ ἡσυχαστήριον τῶν ὁσίων Πατέρων, ἀπὸ ἄνθρωπον δηλονότι φιλαληθέστατον καὶ μεγάλης ὑπολήψεως διὰ τὴν ἀρετήν του. Ἐξ αὐτῶν δὲ ἤκουσεν ὁ ἴδιος ἄλλα μὲν ἀμέσως ἀπὸ τὸν μάρτυρα Νικήταν, ἄλλα δὲ ἀπὸ τοὺς καλογήρους τῆς μονῆς. Ἀναχωρήσας δὲ ἀπὸ ἐκεῖ ἔπειτα κατέβη πάλιν εἰς τὴν μονὴν καὶ ἐζήτει ἄδειαν ἀπὸ τοὺς Πατέρας νὰ παρρησιασθῇ διὰ νὰ μαρτυρήσῃ. Τότε λοιπὸν συνελθόντες ὅλοι ὁμοῦ οἱ προεστῶτες συνεσκέπτοντο τὶ νὰ κάμουν περὶ αὐτοῦ. Καὶ τινὲς μὲν εὕρισκον εὔλογον νὰ μὴ τὸν ἀφήσουν νὰ παρρησιασθῇ διότι ἦτο πολλὰ νέος (ἕως δέκα πέντε ἢ δέκα ἓξ χρόνων) καὶ ἐφοβοῦντο μήπως δὲν ἤθελε δυνηθῇ νὰ βασταξῃ τὰ βάσανα τοῦ μαρτυρίου καὶ μείνῃ πάλιν εἰς τὴν ἀσέβειαν, ὡς καὶ πρότερον, εἰς καιρὸν ὁποῦ ἦτο δυνατὸν νὰ ἀπεράσῃ τὴν ζωήν του εἰς τὸ κρυπτὸν χριστιανικὰ καὶ νὰ σωθῇ. Μερικοὶ εἶχον τοιαύτην γνώμην· ἄλλοι πάλιν ἔλεγον ὅτι, ἀφοῦ ἀφ' ἑαυτοῦ μετὰ προθυμίας πολλῆς ἐζήτει τὸ μαρτύριον, δὲν πρέπει νὰ τὸν ἐμποδίσουν. Τέλος πάντων ἀπεφάσισαν νὰ κάμουν παράκλησιν εἰς τὴν Παναγίαν πρότερον καὶ ἔπειτα νὰ τὸν ἐ-

ξαποστείλουν είς τὸν ποθούμενόν του δρόμον καὶ οὕτως ἔγινε. Μετὰ τὴν παράκλησιν ἐκείνην λοιπὸν λαβὼν εὐλογίαν καὶ συγχώρησιν καὶ ὁδηγόν τοῦ δρόμου κατέβη εἰς τὴν Χώραν. Ἐλθὼν δὲ εἰς κἄποιον μέρος λεγόμενον Μῶλον ἐπιάσθη διὰ τὸ χαράτσι· (ἦτο δὲ τότε ἄνθρωπος τοῦ χαρατσίου κακότροπός τις Κρημλῆς τὸ γένος). Ἀλλ' ἐπειδὴ οὔτε χαρτὶ εἶχεν, (1) οὔτε ἄσπρα νὰ πληρώσῃ προφασιζόμενος ὅτι ἦτο καραβοτσακισμένος τὸν ἔσυρεν εἰς τὴν φυλακήν· ἐβγάνοντάς τον δὲ ἔξω εἰς τόπον λεγόμενον Βουνάκι ἔστησαν αὐτὸν ἔξωθι καφείου τινὸς καὶ ἐπαραμόνευε νὰ πιάσῃ καὶ ἄλλους διὰ τὸ χαράτσι νὰ τοὺς φέρῃ ὅλους ὁμοῦ εἰς τὴν φυλακήν, ἀλλὰ τὴν ὥραν ἐκείνην ἐπέρασεν ἐκεῖθεν γνώριμός τις, παπᾶ Δανιὴλ τὸ ὄνομα, ὁ ὁποῖος βλέποντας τὸν Νικήταν ἐχαιρέτισεν αὐτὸν κράζοντας κατ' ὄνομα Μεμέτην καὶ ἀκολούθως ἐξήταζε διὰ ποίαν αἰτίαν ἦτο κρατημένος ἐκεῖ· ἀκούσας δὲ ὅτι διὰ τὸ χαράτσι καὶ ἀγνοῶν τὸν σκοπὸν τοῦ Νικήτα ἔλεγε· «τώρα νέον ἔγινε τοῦτο νὰ πληρώνουν καὶ οἱ τοῦρκοι χαράτσι;» ταῦτα ὁ νέος ἀκούσας ἐφώναξε· τὶ λέγεις ἄνθρωπε; λάθος ἔχεις· ἐγὼ εἶμαι χριστιανός, ὀνομάζομαι Νικήτας. Ὁ δὲ προειρημένος Κρημλῆς ὄντας ἐκεῖ πλησίον ἤκουσε τὰ λόγια ταῦτα. Ὅθεν ἠρώτα καὶ ἐξήταζεν. Ἐπειδὴ δὲ ὁ θεόφρων Νικήτας ἔλεγεν ὅτι ἦτο Χριστιανός, ὁ δὲ ἄνθρωπος ἐκεῖνος ἦτο λανθασμένος, διὰ τοῦτο πηγαίνοντάς τον εἰς τὸ κονάκι τὸν ἀνέβασαν εἰς τὸν Ἀγᾶν καὶ ἐκεῖ ἠρωτήθη καὶ ἐξητάσθη ἔμπροσθεν πολλῶν καὶ αὐτὸς ἀπεκρίθη καθὼς τὸ πνεῦμα τὸ Ἅγιον τὸν ἐφώτισε τὴν ὥραν ἐκείνην. Τὸ γὰρ Ἅγιον Πνεῦμα, κατὰ τὴν τοῦ Κυρίου ὑπόσχεσιν, διδάξει ὑμᾶς ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἃ δεῖ ποιεῖν. Ἀφοῦ ὅμως περιεργότερον ἐρευνήσαντες εὑρῆκαν τὴν μυσαρὰν τῆς ἐκείνων θρησκείας σφραγῖδα, ἤρχισαν νὰ φωνάζουν καὶ νὰ τὸν ὑβρίζουν, διότι ἐτόλμησε νὰ ἀρνηθῇ τὴν πίστιν των καὶ νὰ γίνῃ χριστιανός. Ἔπειτα καὶ μὲ μυρίας τιμωρίας τὸν ἐφοβέριζον, μὲ κάθε τρόπον τὸν ἠνάγκαζον νὰ μένῃ τοῦρκος, νὰ μὴ ἀτιμάσῃ τὴν θρησκείαν των ἐπιστρέφοντας πάλιν εἰς τὴν χριστιανικὴν πίστιν. Ὁ θεῖος Νικήτας ὅμως οὔτε διὰ τὰς ὕβρεις ὁποῦ διὰ τὸν Χριστὸν ἤκουεν ἐντράπη, οὔτε διὰ τοὺς φοβερισμοὺς ἐφοβήθη, ἀλλ' ἔμενε στερεὸς καὶ ἀκλόνητος εἰς τὴν ὁμολογίαν τῆς πίστεώς του. Τὴν δὲ θρησκείαν ἐκείνων ἤλεγχε καὶ ἠρνεῖτο καὶ μὲ τέλειον μῖσος τὴν ἀπεστρέφετο. Τὶ δὲ οἱ Ἀγαρηνοί; ἀφοῦ πλέον τὸν ἐγνώρισαν ὅτι δὲν εἶχεν ὡς παιδίον παιδαριώδη φόβον καὶ δειλίαν, ἀλλ' εἶχεν ἀνδρικὸν καὶ γενναῖον φρόνημα, ἐδοκίμασαν μὲ ἄλλον τρόπον νὰ μεταβάλουν τὴν γνώμην του, μὲ κολακείας δηλονότι πολλάς, μὲ ὑποσχέσεις διαφόρων ἀγαθῶν ἐπιγείων πλούτου, δόξης, καὶ τῶν ὁμοίων. Καὶ ταῦτα οἱ ματαιόφρονες ὑπισχνοῦντο καὶ ἔτασσον. Τὶ δὲ ὁ θεόφρων τοῦ Χριστοῦ γενναῖος ἀθλητής; καθὼς τοὺς προτέρους φοβερισμοὺς δὲν ἐψήφισε διὰ τίποτε, οὕτω καὶ τὰς κολακείας δὲν ἐδέχθη ὕστερον, οὐδὲ τὰς ἐλόγιασε παντελῶς. Καὶ ὄχι μόνον δὲν μετεβλήθη ἀπὸ τούτων ἡ γνώμη του, καθὼς ἐκεῖνοι ἤλπιζον,

1) Ἔγγραφον ἐλέγχον τὴν τουρκικὴν καταγωγὴν αὐτοῦ· οἱ τοῦρκοι ἐξῃροῦντο ἀπὸ τῆς πληρωμῆς τοῦ φόρου ἐκείνου.



ἀλλὰ μάλιστα τὸ ἐναντίον ἐγίνετο. Ὅσον ἐβιάζετο ἀπὸ αὐτοὺς νὰ προδώσῃ τὴν εὐσέβειαν τόσον ἄναπτεν ὅλος ἀπὸ τὴν φλόγα τῆς τοῦ Χριστοῦ ἀγάπης. Ὅθεν χωρὶς νὰ συλλογισθῇ τὴν ὥραν ἐκείνην, ὅτι ἦτο ὡς πρόβατον ἐν μέσῳ πολλῶν αἱμοβόρων λύκων καὶ χωρὶς νὰ βάλῃ εἰς τὸν νοῦν του, ὅτι ἔμελλε νὰ παραδώσῃ τὸ τρυφερώτατον καὶ ἁπαλώτατον σῶμά του εἰς χεῖρας ἀνθρώπων σκληρῶν καὶ ἀσπλάγχνων, χωρὶς λέγω νὰ συλλογισθῇ τι ἐκ τῶν τοιούτων καὶ νὰ δειλιάσῃ, τοὐναντίον μὲ γνώμην βεβαίαν, μὲ ψυχῆς γενναιότητα ἐστάθη εἰς τὸ μέσον τῶν Ἀγαρηνῶν ἐκείνων καὶ ἐκήρυξε τὴν εὐσέβειαν. Ὡμολόγησε μὲ πλήρη ἐλευθεροστομίαν τὸν μὲν Χριστὸν Θεὸν ἀληθινόν, τὸν δὲ ἀρχηγὸν τῆς θρησκείας των ἤλεγξε πολλὰ καὶ ἐθεάτρισε. Βλέποντες λοιπὸν ἐκεῖνοι τὸ ἀμετάθετον τῆς γνώμης του καὶ μάλιστα μὴ ὑποφέροντες τὸ γενναῖον αὐτοῦ φρόνημα καὶ τὴν μεγάλην παρρησίαν, ἠγανάκτησαν καὶ μὲ ὕβρεις καὶ δαρμοὺς τὸν ἐφυλάκωσαν καὶ μὲ διαφόρους βασάνους τὸν ἐβασάνισαν. Ὁ δὲ Μάρτυς μὲ νηστείαν καὶ προσευχὴν ἐζήτει τὴν ἐξ ὕψους βοήθειαν. Ἔλεγον δὲ οἱ εὑρεθέντες χριστιανοὶ μέσα εἰς τὴν φυλακήν, ὅτι τὸν ἐπαρακίνησαν πολλὰ νὰ φάγῃ καὶ αὐτὸς ἀπεκρίθη ὅτι ἐγὼ τρέφομαι μὲ τροφήν, τὴν ὁποίαν σεῖς δὲν ἔχετε καὶ εὐφραίνομαι μὲ εὐφροσύνην, τὴν ὁποίαν σεῖς δὲν δύνασθε νὰ αἰσθανθῆτε. Ἔπειτα καὶ εἰς τοὺς πόδας τῶν ἀλόγων τὸν ἔρριψαν δέσμιον χεῖρας καὶ πόδας διὰ νὰ τὸν καταπατήσουν καὶ νὰ τὸν θανατώσουν κρυφίως μέσα εἰς τὸν σταῦλον, διὰ νὰ μὴ ἀκούεται ἔξω εἰς τοὺς χριστιανοὺς ἡ παρρησία καὶ ἡ ἀνδρεία του. Ἀλλὰ ἀφοῦ θείᾳ βοηθείᾳ ἔμεινεν ἀβλαβὴς καὶ ἀπὸ τὰ ἄλογα ἐβγάνοντάς τον ἐκεῖθεν τὸν ἔβαλαν εἰς τὴν σκοτεινὴν φυλακὴν μέσα εἰς τὸ Κάστρον καὶ ἐκεῖ τοῦ ἔκαμαν τὰ πολλὰ καὶ δεινὰ κολαστήρια, καθὼς ἠκούετο τότε, ὅμως ποῖα καὶ τὶ λογῆς ἦσαν ἐκεῖνα τὰ μαρτύρια δὲν εἰμπόρεσαν νὰ μαθοῦν καὶ νὰ παραδώσουν εἰς ἡμᾶς ἀκριβῶς. Τόσο μόνον ἐφανέρωσάν τινες τοῦρκοι θαυμάζοντες, ὅτι εἶχε πολὺ φῶς τὴν νύκτα ἡ σκοτεινὴ φυλακή. Τὸν ἐβασάνισαν δὲ εἰς φυλακὰς καὶ εἰς δεσμὰ δέκα ἡμερονύκτια, ἀλλ' οὗτος ὑπέφερε μὲ μεγάλην καρτερίαν καὶ γενναιότητα. Τέλος πάντων τὸν ἔβγαλαν ἐκ τῆς φυλακῆς καὶ ὥρμησε κατ' αὐτοῦ πλῆθος πολὺ Ἀγαρηνῶν καὶ περικυκλώσαντες τὸν γενναῖον ἀθλητὴν τοῦ Χριστοῦ, ἄλλοι τὸν ἔσυρον ἐδῶ, ἄλλοι τὸν ἔσπρωχνον ἐκεῖ, ἐκεῖνοι ἔδειρον ἀπανθρώπως μὲ τὰς χεῖρας των, οὗτοι ἀσπλάγχνως μὲ τὰ μαχαίριά των, καὶ ἄλλοι ἄλλως, καθὼς ἐπαρακινοῦσε καθένα ἡ μανία του καὶ ὁ θυμός του.

Ὁ δὲ τοῦ Χριστοῦ στρατιώτης συρόμενος ὡς πρόβατον ἐπὶ σφαγὴν σφόδρα βασανιζόμενος ἔλεγεν· διὰ ποῖον ἔργον θέλετε νὰ μὲ φονεύσετε παράνομοι, διότι ἐκήρυξα τὸν Χριστὸν Θεὸν ἀληθινόν; διότι ἤλεγξα καὶ ἐφανέρωσα τὸ ψεῦδος καὶ τὴν πλάνην τῆς θρησκείας σας; πλὴν τώρα μὲ φονεύετε καὶ ἐγὼ μετὰ χαρᾶς μεγάλης δέχομαι τὸν θάνατον, ἀλλὰ θέλει ἔλθει καιρὸς νὰ μὲ ἰδῆτε λαμπρὸν καὶ δεδοξασμένον εἰς τὴν δόξαν τοῦ Χριστοῦ μου, διὰ τὸν ὁποῖον ἀποθνήσκω. Ἀφοῦ δὲ ἔφθασαν εἰς μίαν ἄκραν τῆς πόλεως καλουμένην «Κάτω αἰγιαλὸν» τὸν ἔστησαν ὑποκάτω εἰς τὸ Ἰβηριτικὸν μετόχιον ἀπὸ τὸ βόρειον μέρος λέγοντες αὐτῷ νὰ τουρκεύσῃ διὰ νὰ ἀποφύγῃ τὸν θάνατον.

Ἀλλ' αὐτὸς ἔμενε σταθερὸς εἰς τὴν πίστιν τοῦ Χριστοῦ λέγων· «χριστιανὸς εἶμαι, Νικήτας ὀνομάζομαι, Νικήτας θὰ ἀποθάνω». Ὅθεν τὸν ἐγονάτισαν πολλὰς φοράς, καθὼς μαρτυροῦν οἱ αὐτόπται ἕως καὶ εἰς τὰς ἡμέρας μας διὰ νὰ φοβηθῇ τὴν σφαγὴν καὶ οὕτω νὰ ἀρνηθῇ τὸν Χριστόν. Οἱ δὲ χριστιανοὶ βλέποντες τὰ γινόμενα καὶ φοβούμενοι μήπως δειλιάσῃ τὸν θάνατον, ἐδέοντο τοῦ Θεοῦ νοερῶς ἕκαστος νὰ τὸν ἐνδυναμώσῃ νὰ τελειώσῃ τὸν δρόμον τοῦ μαρτυρίου. Καὶ ἐξαιρέτως ὁ ἱεροδιδάσκαλος Ἰωακεὶμ ὁ Καβάκος ἐπιλεγόμενος ταῦτα βλέπων ἄνωθεν ἀπὸ τὸ Ἁγιοταφητικὸν Μετόχιον ἵστατο προσευχόμενος ὑπὲρ αὐτοῦ ἀσκεπής. Ἐκεῖνος ὅμως ὁ γενναῖος καὶ μεγαλόψυχος ὄχι μόνον δὲν ἐφοβήθη τὸν θάνατον, ἀλλα καὶ τὸν ἐπεθύμει καὶ ἔλεγεν εἰς τοὺς Ἀγαρηνούς· διατὶ ἀργοπορεῖτε καὶ δὲν μὲ θανατώνετε τὸ γληγορώτερον νὰ ὑπάγω εἰς τὴν αἰώνιον ζωὴν νὰ ἀπολαύσω τῆς μακαριότητος τοῦ Παραδείσου. Ταῦτα ἀκούσας ὁ ἄγριος καὶ θηριώδης Κρημλῆς καὶ βλέποντας τοὺς ἄλλους ὅτι ἐσυστέλλοντο καὶ ἐφοβοῦντο νὰ τὸν ἀποκεφαλίσουν, ὡσὰν να ἦσαν ἀσυνήθιστοι εἰς ἀνθρώπου σφαγήν, ὥρμησε μὲ πολλὴν μανίαν καὶ τοῦ ἀπέκοψε τὴν τιμίαν κεφαλὴν καὶ οὕτως ἔλαβε τὸ μακάριον τέλος ὁ θεῖος Νικήτας κατὰ τὸ 1732 τὴν 21ην Ἰουνίου. Τυφλοὶ δέ τινες ἀλείψαντες τοὺς ὀφθαλμούς των μὲ τὸ θεῖον αἷμα τοῦ Μάρτυρος ἀνέβλεψαν καὶ ἐδόξαζον τὸν Θεὸν καὶ τὸν μάρτυρα Νικήταν κατὰ τὴν μαρτυρίαν τοῦ πανοσιολογιωτάτου Κὺρ Ἀθανασίου τοῦ Ἰβηρίτου, ὅστις παρὼν ἔβλεπε τὰ γενόμενα καὶ μετὰ ταῦτα συνέθεσε τὴν ἀκολουθίαν του. Δὲν εὐχαριστήθησαν ὅμως ἕως ἐδῶ οἱ Ἀγαρηνοί, ἀλλὰ καὶ μετὰ τὴν ἀποτομὴν τῆς τιμίας του κεφαλῆς ἔδειξαν εἰς τὸν Μάρτυρα τὴν ὑπερβολὴν τῆς κακίας των. Ὅθεν ἐπειδὴ καὶ οἱ χριστιανοὶ ἔπερναν διὰ ἁγιασμὸν καὶ βοήθειάν των, ὅ,τι ἠδύνατο καθ' ἕνας ἀπὸ τὸ μαρτυρικὸν σῶμα, ἄλλος ἀπὸ τὸ φόρεμά του, ἄλλος ἀπὸ τὸ ἐκχυθὲν αἷμά του, διὰ τοῦτο φθονήσαντες ἔπερναν μὲ τὸν κουβᾶν ἀπὸ τὰς ἀκαθαρσίας, ὁποῦ ἦσαν ἐκεῖ κοντὰ εἰς ἕνα βόρβορον καὶ ἔχυνον ἐπάνω εἰς τὸ ἅγιόν του λείψανον διὰ νὰ τὸ μολύνουν οἱ ῥυπαρώτατοι. Ὁ Θεὸς ὅμως ἐδόξασε τὸν Μάρτυρα καὶ παντάπασι δὲν ἐμολύνθη, ἀλλὰ παρευθὺς ὅπου ἔχυναν τὰς ἀκαθαρσίας ἔπιπτον εἰς τὴν γῆν καὶ ἔμενε τὸ σῶμα καθαρώτατον καὶ λευκότατον ὡς κρίνον. Τότε καὶ χριστιανός τις Ἀλέξανδρος τὸ ὄνομα. Στουππῆς τὸ ἐπίκλην, ἀπετόλμησε κάποιαν ὥραν καὶ ἀπέκοψε μὲ τοὺς ὀδόντας του τὸν δάκτυλον τοῦ Μάρτυρος, ὅστις ἐδόθη παρ' αὐτοῦ εἰς τὸν ναὸν τοῦ Ἁγίου Βίκτωρος. Τέλος πάντων ἔρριψαν εἰς τὴν θάλασσαν τὸ πανάγιόν του λείψανον. Καὶ ἄλλο δὲν ἔμεινε παρὰ κάποια μέλη, ὁποῦ ἐπεμελήθησαν καὶ ἔλαβον μερικοὶ εὐλαβεῖς χριστιανοί. Ὁ δὲ προειρημένος Κρημλῆς, ὁποῦ τὸν ἀπεκεφάλισεν ἔσυρεν εἰς τὸν ἑαυτόν του τὴν θείαν ὀργήν, διότι τότε παρευθὺς ὁποῦ ἔδειξε τὴν πολλὴν ἐκείνην σκληρότητα καὶ ἀπανθρωπίαν, τὴν ὁποίαν ἄλλος δὲν ἐτόλμησε νὰ δείξῃ, καθὼς εἴρηται, τότε λέγω παρευθὺς ἄρχισε νὰ τρέμῃ ὡσὰν τάχα ἀπὸ δειλίαν καὶ αὐτὸς ὁ τρόμος καὶ ὁ κλόνος τοῦ σώματός του δὲν ἔπαυσε πλέον, ἀλλὰ μᾶλλον ηὔξησε καὶ ἔμεινε τρέμων ὡς ἄλλος Κάϊν εἰς ὅλην του τὴν ζωήν.



Τὸ δὲ παραδοξώτερον καὶ θαυμασιώτερον εἶναι, ὅτι καὶ τὴν νύκτα ἐπήγαινεν ὁ μάρτυς Νικήτας καὶ πολλὰ φόβητρα τὸν ἔδειχνε, μάλιστα τὸν ἐπατοῦσε, τὸν ἔδερνε τόσον, ὁποῦ ἀπὸ τὸν πολὺν φόβον ἔπαθε παροξυσμόν, καὶ οὔτε τὰ φόβητρα ἔπαυσαν, οὔτε οἱ δαρμοὶ καὶ ὁ παροξυσμός, ἕως ὁποῦ ἐζωγράφισε (πρᾶγμα ἀστεῖον καὶ θαῦμα μέγα) εἰκόνα τοῦ Ἁγίου Νικήτα καὶ τὴν εἶχεν εἰς τόπον ἐπιτήδειον μέσα εἰς τὸν ὀντά του, ὁποῦ νὰ μὴ βλέπουν ἄλλοι τοῦρκοι. Καὶ ἀφοῦ ταῦτα ἔκαμε (ἀπὸ συμβουλὴν ἴσως τῆς γυναικός του, ἡ ὁποία ἦτο χριστιανὴ καὶ ἄλλων τινῶν οἱ ὁποῖοι εἶχον τὸ θάρρος του) ἔπαυσε μὲν εἰς τὸ ἑξῆς ὁ παροξυσμὸς καὶ οἱ νυκτερινοὶ φόβοι καὶ οἱ δαρμοὶ ἔμεινε δὲ ὁ τρόμος καὶ παρελύθη τὸ σῶμά του καὶ κακῶς ἐπέρασε τὸν ὑπόλοιπον καιρὸν τῆς ζωῆς του. Ἡ δὲ φονικὴ ἐκείνη δεξιά του παλάμη τότε κοντὰ μὲ τὸν θάνατον τοῦ μάρτυρος ἀπεκόπη ἀπὸ ἄλλους τούρκους πάλιν καὶ ἔμεινε κρεμασμένη ἀπὸ τὴν κλείδωσιν νεκρὰ καὶ ἀκίνητος. Τοῦτο δὲ τὸ θαῦμα τῆς εἰκόνος θέλοντας νὰ φανερώσῃ εἰς πολλοὺς ὁ Ἅγιος Νικήτας, τί ἔκαμνε; πολλὰς φορὰς ὅταν ἐτύχαινε νὰ εἶναι καὶ ἄλλοι τοῦρκοι εἰς τὸν ὀντὰ τοῦ Κρημλῆ ἐγίνετο κἄποιος κτύπος μέσα εἰς τὴν θυρίδα, ὁποῦ εἶχε κεκρυμμένην τὴν εἰκόνα. Ὅθεν ἀποροῦντες ἐκεῖνοι ἠρώτων διὰ τὸν ἀκουόμενον κτύπον· διὰ τοῦτο δὲ ἀναγκασθεὶς ἔστειλε τὴν εἰκόνα εἰς τὸ ὀσπήτιον, ὁποῦ εἶχε τὴν γυναῖκά του, τὴν ἐτίμα μὲ κανδήλαν ἀκοίμητον καὶ τότε βλέποντές των οἱ γείτονες ἠρώτησαν καὶ ἔμαθον τὸ θαῦμα καὶ ὅλοι ἐδόξαζον τὸν Θεὸν καὶ τὸν Θεῖον αὐτοῦ μάρτυρα Νικήταν. Ἀλλὰ καὶ γυνή τις τὸν καιρὸν ἐκεῖνον Μπατουλιὰ καλουμένη εἶχεν ἆσθμα, ἤγουν φράξιν ἢ στένωσιν καθὼς ἄλλοι τὸ ὀνομάζουσι. Καὶ τόσον πολλὰ τὴν ἐβασάνιζεν αὐτὸ τὸ πάθος, ὥστε ὁποῦ ἐπροτίμα τὸν θανατον ἀπὸ τὴν τοιαύτην ζωήν. Αὐτὴ λοιπὸν ἡ γυνὴ ἀκούσασα τὰ περὶ τοῦ Νικήτα ἐπεκαλέσθη αὐτὸν εἰς βοήθειαν λέγουσα. Ἅγιε Νικήτα, ὅστις τὸ αἷμά σου ἔχυσες ὑπὲρ πίστεως, ἐὰν ἀληθινὰ εἶσαι ἅγιος τοῦ Θεοῦ καὶ Μάρτυς, καθὼς νομίζω, ἐὰν ἔχῃς παρρησίαν εἰς τὸν Θεόν, ἓν ἀπὸ ταῦτα τὰ δύο κάμε εἰς ἐμὲ τὴν ἀθλίαν· ἢ δός μοι τὴν ὑγείαν μου, ἢ δός μοι τὸν θάνατον διὰ νὰ ἐλευθερωθῶ ἀπὸ τὸ ἀνυπόφορον τοῦτο πάθος. Αὐτὰ εἶπεν ἀφ' ἑσπέρας, τὸ δὲ πρωΐ, ὢ τοῦ θαύματος, ἐξύπνησεν ὑγιὴς καὶ ὅλον τὸν ὑπόλοιπον καιρὸν τῆς ζωῆς της ἐπέρασεν ἐν ὑγείᾳ δοξάζουσα αὐτὸν ὡς ὄντως ἅγιον Μάρτυρα, δεδοξασμένον, εἰς τοὺς ἱερεῖς καὶ μὲ ἄλλας ἀγαθοεργίας. Ταῦτα λεγόμενα καὶ διηγούμενα ἔφθασαν εἰς τὰς ἀκοὰς τοῦ μεγαλυτέρου ἀδελφοῦ τοῦ Ἁγίου Νικήτα, ὅθεν ἦλθε καὶ αὐτὸς μὲ τὴν αὐτὴν προθυμίαν καὶ κηρύττοντας παρρησίᾳ εἰς τοὺς Ἀγαρηνούς, ὅτι ἀρνεῖται τὴν θρησκείαν των καὶ ὅτι εἶναι Χριστιανὸς ἠρέθιζεν αὐτοὺς καὶ ἐζήτει μὲ ὅλην του τὴν ψυχὴν καὶ τὴν καρδίαν νὰ μαρτυρήσῃ ὑπὲρ Χριστοῦ, αὐτοὶ ὅμως τὸν ἐδίωξαν τὸ ὀγληγορώτερον ἀπὸ τὴν Χίον (1) φοβούμενοι τὰ κακά, ὁποῦ ἔκαμεν εἰς τὸν Κρημλῆν ὁ θεῖος Νικήτας καὶ αἰσχυνόμενοι διὰ τὰ θαύματα μὲ

(1) Ἀνεχώρησε κατὰ παραδόσεις Νισυριακὰς εἰς Ἅγιον Ὄρος, ἔνθα ἠσκήτευσεν ἐκαλεῖτο δὲ ὡς λέγουσιν Ἰωάννης.

τὰ ὁποῖα τὸν ἐδόξασεν ὁ Θεὸς ὁ θαυμαστὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Ὢ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Παῖδας μιμούμενος Νικήτα, χαίρων ἤθλησας τοὺς ἐν Βαβυλωνίᾳ, ἐναθλήσαντας πρὶν καμίνῳ καὶ ἐβόας, εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄγαρ Νικήτα ἀπογόνων, σοῦ δεόμεθα κατάβαλε τὸ θράσος, πρὸς θεὸν ἱεραῖς πρεσβείαις σου καὶ ψάλλειν ἡμᾶς ἀεὶ ἐνίσχυε, ὁ Θεὸς εὐλογητός εἶ.

Τίμιος ὄντως ἀνεδείχθη, σοῦ ὁ θάνατος ἐνώπιον Κυρίου, καθελόντος ἐχθρὸν εἰς τέλος ἀθλοφόρε, τὸν ἄμετρα καυχώμενον ἐξαλείφειν γῆν καὶ πόλον.

Βλέψον ἱλέῳ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν, ἣν ἔχω, καὶ δεινῶν συμφορῶν καὶ βλάβης καὶ κινδύνων, καὶ πειρασμῶν με λύτρωσαι, ἀμετρήτῳ σου ἐλέει.

Ὠδὴ ή. Τὸν ἐν ὄρει ἁγίῳ.

Νόμος μάρτυς ἡττᾶται τῷ μεγέθει, ἐγκωμίων τῶν σῶν καὶ γὰρ τῷ κόσμῳ· ταῖς φανωτάταις ἀστραπαῖς δὲ ἔλαμψας τοῦ σοῦ μαρτυρίου, Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μόνα ὄντως τὰ πρὸς ζωὴν τὴν θείαν, ὁδηγοῦντα Νικήτα ἀγαπήσας, ἀνεπιστρόφως τρίβον τῆς ἀθλήσεως, ὥδευσας τρισμάκαρ, τὴν τοῦ Παρακλήτου, ἔχων ὁδηγοῦσάν σε χάριν εἰς αἰῶνας.

Νέαν μάρτυς ἄγων τὴν ἡλικίαν, τὸν κακίᾳ ἀρχαῖον τῷ τῶν ἄθλων τῶν σῶν μοχλῷ ἐξηφάνισας καὶ νῦν σὺν ἀγγέλοις, ὕμνον τῇ Τριάδι ἱστάμενος ἐκπέμπεις.

**Θεοτοκίον.**

Χαῖρε θρόνε πυρίμορφε Κυρίου, χαῖρε θεία καὶ μανναδόχε στάμνε· χαῖρε χρυσῆ λυχνία λαμπὰς ἄσβεστε, χαῖρε τῶν παρθένων δόξα καὶ μητέρων ὡραΐσμα καὶ κλέος.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἐξήνθησας ὡς ῥόδον, ἐν αὐλαῖς Κυρίου εὐωδιάζων ὀδμαῖς ταῖς τῶν ἄθλων σου, τοὺς εὐφημοῦντάς σε πόθῳ Νικήτα ἔνδοξε.

Κατάβαλε λιταῖς σου, πάνσοφε Νικήτα, Ἀγαρηνῶν τὴν μανίαν τὴν ἄθεον, τὴν καθ' ἡμῶν κινουμένην τῶν προσκυνούντων σε.



Τὴν μνήμην σου τὴν θείαν, τῷ τῶν ἐγκωμίων ἀμαραντίνῳ στεφάνῳ κοσμήσαντι, ἁμαρτημάτων τὴν ἄφεσιν εὐχαῖς σου δώρησαι.

Κακώσεως ἐν τόπῳ, τὸν τῆς ἀσθενείας ταπεινωθέντα παρθένε θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

**Ἐξαποστειλάρια**

Γυναῖκες ἀκουτίσθητε.

Μαρτύρων ἐγκαλλώπισμα, Χριστοῦ τοῦ Παντοκράτορος, εἰρήνην αἴτησαι πάσῃ, τῇ οἰκουμένῃ Νικήτα, τοῖς εὐσεβῶς δ' ὑμνοῦσί σε ἡμῖν πταισμάτων ἄφεσιν, καὶ εὐρωστίαν σώματος καὶ ψυχικὴν σωτηρίαν, ταῖς πρὸς Θεόν σου πρεσβείαις.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγεννημένη, ἐν ᾗ Πατὴρ εὐδόκησεν, ὁ δὲ υἱὸς ἐσκήνωσεν· καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν σοι Κόρη ἀνέδειξε Θεοτόκον.

**Εἰς τοὺς Αἴνους, ἦχος ά.**

Τῶν οὐρανίων Ταγμάτων.

Σήμερον τέρπεται νῆσος Νίσυρος ἔνδοξε, κατέχουσα ἐν κόλποις, σοῦ τὰ σπάργανα Μάρτυς. Ἡ Ῥόδος δὲ ὡς οὖσα ταύτης σοφέ, θαυμασία μητρόπολις, σὺν τῇ τὸ αἷμα τὸ θεῖόν σου ἐκχυθέν, δεξαμένῃ Χίῳ γάννυται.

Αὐτομολήσας Νικήτα ὥσπερ τις ἄσαρκος, πρὸς τοὺς ἀγῶνας χαίρων τὸν Βελίαρ καθεῖλες· τῆς Ἄγαρ δ' ἀπογόνους ὄντως βυθῷ, τῆς αἰσχύνης ἐβύθισας, μὴ δυνηθέντας θωπείαις καταβαλεῖν, τὴν στερράν σου Μάρτυς ἔνστασιν.

Μετὰ Στεφάνου καὶ πάντων Μάρτυς Γεώργιε, Δημήτριε τρισμάκαρ καὶ Ἰουλιανοῦ τε, τὸν νέον ἀθλοφόρον νῦν ἐν χαρᾷ, συνελθόντες προσλάβετε, ἐν τῇ πανσέπτῳ χορείᾳ ὑμῶν καὶ γὰρ καθ' ὑμᾶς καὶ οὗτος ἤθλησε.

Τὸν νέον πάντες ὁπλίτην Νικήταν ἄνθεσι, στέψωμεν τοῖς ἐκ λόγων, οἱ τῶν ἄθλων τῶν θείων, τρυφήσαντες τῶν τούτου καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν χαίροντες. Μὴ ἐπιλάθου τῶν πίστει τὴν ἱερὰν ἐκτελούντων σου πανήγυριν.

**Δόξα ἦχος πλ. β΄.**

Πρὸς τὸ Σήμερον κρεμᾶται.

Σήμερον καθείργνυται ἐν ζόφῳ ὁ ἐν μάρτυσιν ὡς ἑωσφόρος λάμπων. Ἕλκεται ὡς τυραννικῶς ὑπεύθυνος ὁ κατὰ πλάνης βασιλεύς. Φρικτοῖς ἀγῶσι περιβάλλεται ὁ καταβαλὼν τὸν σοφιστὴν τῆς κακίας. Μίσημα εὗρεν ἄδικον ὁ ἀπὸ καρδίας ὑπερφιλήσας τὸν Χριστόν. Θνήσκειν κατεκρίθη ὁ θανάτου κατευμεγεθήσας. Ξίφει ἀπετμήθη, ὁ φθορεὺς τῆς ἀπάτης. Προσκυνοῦμεν σου τὰ ἄθλα Νικήτα στερρέ, καὶ δίδου ἡμῖν τὴν σωτήριόν σου ἀντάμειψιν.

**Καὶ νῦν. Θεοτοκίον.**

Θεοτόκε σὺ ἡ ἄμπελος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά, εἰς τοὺς Μακαρισμοὺς τὴν γ΄. καὶ τὴν στ΄. ᾠδὴν τοῦ κανόνος. Μετὰ τὸν τρισάγιον τὸν Ἀπόστολον καὶ τὸ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

---

**Μεγαλυνάρια τοῦ Ἁγίου.**

Μάρτυς ἀθλοφόρε ταῖς πρὸς Θεόν, ἱεραῖς εὐχαῖς σου διατήρει τοὺς εὐλαβῶς, τῇ σῇ θείᾳ σκέπῃ, προσφεύγοντας ἐκ πάντων, παθῶν τε καὶ κινδύνων ψυχῆς καὶ σώματος.

Νίκης διαδήματι κατ᾽ ἐχθρῶν, ἐστέφθης Νικήτα, φερωνύμως παρὰ Χριστοῦ, καὶ νῦν σὺν Μαρτύρων τοῖς δήμοις ἀθλοφόρε, γηθόμενος ἀφράστως αὐτῷ παρίστασαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΓΡΗΓΟΡΙΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ